Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tyc-bf

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# On the Tribikos and the Tube

*Περὶ τοῦ τριβίκου καὶ τοῦ σωλῆνος*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 Περὶ τοῦ τριβίκου καὶ τοῦ σωλῆνος Ἑξῆς δὲ τὸν τρίβικόν σοι ὑπογράψω· καλεῖται δὲ αὕτη ἡ δι’ ἀσκίου ἡ παρὰ Μαρίας τεχνοπαράδοτος. Ἔχει δὲ οὕτως· ποίησον, φησίν, ἐκ χαλκοῦ ἐλατοῦ σωλῆνας τρεῖς—λεπτὸν τὸ ἔλασμα, ἔχον ἠθμοῦ πάχος ἢ μικρὸν παχύτερον, ὡσεὶ χαλκοῦ τηγάνου πλακουντηρίου— μῆκος πήχεως ἑνὸς ἡμίσους. Ποίησον οὖν σωλῆνας τρεῖς τοιούτους. Καὶ ποίησον χαλκεῖον μακρὸν πήχεως ἔχον τὸ μῆκος παρὰ παλαιστήν· ἄνοιγμα δὲ τοῦ χαλκείου σύμμετρον. Οἱ δὲ τρεῖς σωλῆνες ἐχέτωσαν τὸ ἄνοιγμα οἷον τραχήλου βίκου κούφου ἡλάριον· τοῦ δὲ ἀντίχειρος δύο εἶναι λιχανοὺς αὐτοῦ ταῖς δυσὶ χερσὶ συναρηρότας ἐκ πλευρῶν τοῦ χαλκείου περὶ τὸν πυθμένα· ἐν ᾧ πυθμένι τρεῖς τρῶγλαι προσαρμόζουσαι τοῖς σωλῆσι καὶ ἁρμοσθέντες προσκολλάσθωσαν παραδόξως τοῦ ἄνωθεν πνεῦμα ἔχοντος. Καὶ ἐπιθεὶς τὸ χαλκεῖον ἐπάνω λοπάδος ὀστρακίνης ἐχούσης τὸ θεῖον, συμπεριπηλώσας τὰς συμβολὰς στέατι ἄρτου, ἔνθες ἐπὶ τὰ ἄκρα τῶν σωλήνων βίκους ὑαλίνους μεγάλους παχεῖς ἵνα μὴ ῥαγῶσιν ἀπὸ τῆς θέρμης τοῦ ὕδατος κομιζούσης τὸ ἀναβαῖνον· τὸ δὲ σχῆμα τοῦτο· [λιχανὸς σωλήν]. Ἔστι δὲ καὶ ἄλλος τρόπος κομιδῆς ὕδατος θείου, ἀλλ’ οὐχ ὡς τρίβικος· ἔστω σωλὴν 〈εἴσ〉 εἰς πυθμένα χαλκείου ἐντεθειμένος μῆκος πήχεως ἑνὸς ἡμίσους· τῷ αὐτῷ τρόπῳ καὶ βῖκος εἷς καὶ ὑποκάτω λοπὰς θείου ἀπύρου, εἰς ἣν συναρμόζει τὸ χαλκεῖον καὶ περιπήλου στέατι ἢ κηρῷ ἢ πηλῷ ἢ ὡς βούλει καὶ καύσας ἀνάσπα.

2 Οἱ δὲ τύποι οὗτοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org